γῆς καὶ φιλονεικίας οἱ ἄνθρωποι ἥκουσιν [3]) ἐπὶ τὰ τοιαῦτα νοσήματα, ὥςπερ ὁ Αἴας προςδοκήσας ἐγκρατὴς εἶναι τῶν ὅπλων καὶ ἀποτυχὼν ἔγνω ἑαυτὸν ἀνελεῖν. αἱ δὲ τοιαῦται φιλονεικίαι [4]) οὐκ εἰσὶν ἐπωφελεῖς οὐδὲ τοῖς δοκοῦσι νενικηκέναι. ὅρα γὰρ καὶ παρ' Ὁμήρῳ τὰ περὶ τῆς ἥττης τοῦ Αἴαντος πάνυ διὰ βραχέων καὶ περιπαθῶς· (Ὀδυσσ. Λ, 542.)

οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
νόσφιν ἀφειστήκει κεχολωμένη εἵνεκα τευχέων.

εἶτα αὐτοῦ ἄκουε τοῦ κεκρατηκότος· (547.)

ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ.

οὐκ ἐλυσιτέλησεν ἄρα αὐτῷ ἡ νίκη, τοιούτου ἀνδρὸς διὰ τὴν ἧτταν ἀποθανόντος.

Ἡ σκηνὴ τοῦ δράματος ἐν τῷ ναυστάθμῳ πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. δαιμονίως δὲ εἰςφέρει προλογίζουσαν τὴν Ἀθηνᾶν. ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥςπερ ἐξελέγχοντα ἑαυτόν· οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀποῤῥήτῳ καὶ νυκτὸς τοῦ Αἴαντος δράσαντος. θεοῦ οὖν ἦν

3) Legebatur ἥκοιεν. Ien. ἐμπίπτουσι οἱ ἄνθρωποι, improbante Purgoldo propterea, quod non dicatur ἐμπίπτειν ἐπὶ νοσήματα. Dresd. a. Turn. Steph. Cant. locum sic exhibent: ὅτι ἐξ ὀργῆς καὶ λύπης ἄκρας οἱ ἄνθρωποι εἰς μανίαν περιτρέπονται, ὃ δὴ καὶ Αἴας πέπονθε, τῶν Ἀχιλλείων ὅπλων ἀποτυχών. Neque aliter Mosq. a. nisi quod ὃ δὴ καὶ ὁ Αἴας πεπονθὼς, τῶν Ἀχιλλείων ὅπλων ἀποτυχὼν ἑαυτὸν ἀνεῖλεν praebet.

4) φιλονεικίαι ex Mosq. a. dedi pro νῖκαι, quod huic loco non aptum.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG